νόμων τοῖς ἠδικηκόσι τυχεῖν τιμωρίας ἐστίν. ὁ δέ γε θεὸς
ὀρθῶς ἀπέδωκε τοῖς ἠδικημένοις κολάσαι τὸν αἴτιον· δει-
νὸν γὰρ ἂν εἴη, εἰ ταὐτὰ σημεῖα τοῖς εὐσεβέσι καὶ τοῖς
κακούργοις φαίνοιτο.
94 Ἡγοῦμαι δ' ἔγωγ' ὦ ἄνδρες τὴν τῶν θεῶν ἐπιμέλειαν
πάσας μὲν τὰς ἀνθρωπίνας πράξεις ἐπισκοπεῖν, μάλιστα
δὲ τὴν περὶ τοὺς γονέας καὶ τοὺς τετελευτηκότας καὶ τὴν
πρὸς αὐτοὺς εὐσέβειαν, εἰκότως· παρ' ὧν γὰρ τὴν ἀρ-
χὴν τοῦ ζῆν εἰλήφαμεν καὶ πλεῖστα ἀγαθὰ πεπόνθαμεν,
εἰς τούτους μὴ ὅτι ἁμαρτεῖν, ἀλλὰ {ὅτι} μὴ εὐεργετοῦντας
τὸν αὐτῶν βίον καταναλῶσαι μέγιστον ἀσέβημά ἐστι.
**23** 95 λέγεται γοῦν ἐν Σικελίᾳ (εἰ γὰρ καὶ μυθωδέστερόν ἐστιν,
ἀλλ' ἁρμόσει καὶ νῦν ἅπασι τοῖς νεωτέροις ἀκοῦσαι) ἐκ
τῆς Αἴτνης ῥύακα πυρὸς γενέσθαι· τοῦτον δὲ ῥεῖν φασιν
ἐπί ⟨τε⟩ τὴν ἄλλην χώραν, καὶ δὴ καὶ πρὸς πόλιν τινὰ τῶν
ἐκεῖ κατοικουμένων. τοὺς μὲν οὖν ἄλλους ὁρμῆσαι πρὸς
φυγήν, τὴν αὑτῶν σωτηρίαν ζητοῦντας, ἕνα δέ τινα τῶν
νεωτέρων, ὁρῶντα τὸν πατέρα πρεσβύτερον ὄντα καὶ οὐχὶ
δυνάμενον ἀποχωρεῖν, ἀλλὰ ἐγκαταλαμβανόμενον, ἀρά-
96 μενον φέρειν. φορτίου δ' οἶμαι προσγενομένου καὶ αὐτὸς
ἐγκατελήφθη. ὅθεν δὴ καὶ ἄξιον θεωρῆσαι τὸ θεῖον, ὅτι
τοῖς ἀνδράσιν τοῖς ἀγαθοῖς εὐμενῶς ἔχει. λέγεται γὰρ
p.160 κύκλῳ | τὸν τόπον ἐκεῖνον περιρρυῆναι τὸ πῦρ καὶ σωθῆ-



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404556388/72 UNIVERSITÄT LEIPZIG